σῖτον. καὶ πρόβατα καὶ κτήνη. καὶ ἵππων καὶ ῥεδῶν
Καὶ σωμάτων, καὶ ψυχὰς ἀνθρώπων. καὶ ἡ ὀπώρα τῆς ἐπιθυμίας
τῆς ψυχῆς σου ἀπῆλθεν ἀπὸ σοῦ. καὶ πάντα τὰ λιπαρὰ καὶ τὰ
λαμπρὰ ἀπώλετο ἀπὸ σοῦ. καὶ οὐκέτι οὐ μὴ εὕρῃς αὐτά.
οἱ ἔμποροι τούτων οἱ πλουτήσαντες ἀπ' αὐτῆς ἀπὸ μακρό-
θεν στήσονται, διὰ τὸν φόβον τοῦ βασανισμοῦ αὐτῆς κλαίον-
τες καὶ πενθοῦντες καὶ λέγοντες. οὐαί, οὐαί. ἡ πόλις ἡ με-
γάλη ἡ περιβεβλημένη βύσσινον καὶ πορφυροῦν καὶ κόκκι-
νον καὶ κεχρυσωμένη χρυσίῳ καὶ λίθῳ τιμίῳ καὶ μαργαρίταις.
Ὅτι μιᾷ ὥρᾳ ἠρημώθη ὁ τοσοῦτος πλοῦτος. καὶ πᾶς κυ-
βερνήτης. καὶ πᾶς ὁ ἐπὶ τῶν πλοίων πλέων. καὶ ναῦται καὶ
ὅσοι τὴν θάλασσαν ἐργάζονται ἀπὸ μακρόθεν ἔστησαν καὶ ἔκρα-
ζον λέγοντες, τὸν καπνὸν τῆς πυρώσεως αὐτῆς βλέποντες.
τίς ὁμοία τῇ πόλει τῇ μεγάλῃ. καὶ ἔβαλον χοῦν ἐπὶ τὰς
κεφαλὰς αὐτῶν καὶ ἔκραζον κλαίοντες καὶ πενθοῦντες
καὶ λέγοντες. οὐαί, οὐαί. ἡ πόλις ἡ μεγάλη. ἐν ᾗ ἐπλού-
τησαν πάντες οἱ ἔχοντες τὰ πλοῖα ἐν τῇ θαλάσσῃ ἐκ τῆς
τιμιότητος αὐτῆς. ὅτι μιᾷ ὥρᾳ ἠρημώθη. εὐφραίνου
Ἐπ' αὐτῇ οὐρανέ. καὶ οἱ ἅγιοι. καὶ οἱ ἀπόστολοι, καὶ οἱ προφῆται,
ὅτι ἔκρινεν ὁ θεὸς τὸ κρίμα ὑμῶν ἐξ αὐτῆς. καὶ ἦρεν
εἷς ἄγγελος ἰσχυρὸς λίθον μέγαν ὡς μύλον. καὶ ἔβαλεν
εἰς τὴν θάλασσαν λέγων. οὕτως ὁρμήματι βληθήσεται
Βαβυλὼν ἡ μεγάλη πόλις. καὶ οὐ μὴ εὑρεθῇ ἔτι. καὶ φω-
νὴ κιθαρῳδῶν. καὶ μουσικῶν. καὶ αὐλητῶν. καὶ σαλπιστῶν,
οὐ μὴ ἀκουσθῇ ἐν σοὶ ἔτι. καὶ πᾶς τεχνίτης πάσης τέ-
χνης οὐ μὴ εὑρεθῇ ἐν σοὶ ἔτι. καὶ φωνὴ μύλου οὐ μὴ ἀ-
κουσθῇ ἐν σοὶ ἔτι. καὶ φῶς λύχνου οὐ μὴ φανῇ ἐν σοὶ ἔτι.
Καὶ φωνὴ νυμφίου καὶ νύμφης, οὐ μὴ ἀκουσθῇ ἐν σοὶ ἔτι.
ὅτι οἱ ἔμποροί σου ἦσαν οἱ μεγιστᾶνες τῆς γῆς. ὅτι ἐν
τῇ φαρμακείᾳ σου ἐπλανήθησαν πάντα τὰ ἔθνη. καὶ
ἐν αὐτῇ αἷμα προφητῶν, καὶ ἁγίων εὑρέθη. καὶ πάντων τῶν
19. ἐσφαγμένων ἐπὶ τῆς γῆς. μετὰ ταῦτα ἤκουσα ὡς φωνὴν
μεγάλην ὄχλου πολλοῦ ἐν τῷ οὐρανῷ λεγόντων, ἀλληλουϊα.
ἡ σωτηρία καὶ ἡ δόξα καὶ ἡ δύναμις τοῦ θεοῦ ἡμῶν ὅτι ἀληθιναὶ
καὶ δίκαιαι αἱ κρίσεις αὐτοῦ. ὅτι ἔκρινε τὴν πόρνην
Τὴν μεγάλην. ἥτις ἔφθειρε τὴν γῆν, ἐν τῇ πορνείᾳ
αὐτῆς. καὶ ἐξεδίκησε τὸ αἷμα τῶν δούλων αὐτοῦ ἐκ χειρός.